τερος, ὥστ' ἐκείνου δυεῖν φίλων ἀπειπαμένου δίαιταν αὐτὸς ὁμοῦ τοσούτων μὲν οἰκείων τοσούτων δ' ἑταίρων γίνεσθαι κριτής, οὐ περὶ χρημάτων ἀλλὰ περὶ πρωτείων ἀποφαινόμενος, ὥσπερ οὐ φιλοφρονήσασθαι παρακεκληκὼς ἀλλ' ἀνιᾶσαι τοὺς ἐπιτηδείους. ‘ἄτοπος μὲν οὖν’ ἔφη ‘καὶ παροιμιώδης Μενέλαος (Β 408), εἴ γε σύμβουλος ἐγένετο μὴ παρακεκλημένος· ἀτοπώτερος δ' ὁ ποιῶν ἑαυτὸν ἀνθ' ἑστιάτορος δικαστὴν καὶ κριτὴν τῶν οὐκ ἐπιτρεπόντων οὐδὲ κρινομένων, τίς ἐστι βελτίων τίνος ἢ χείρων· οὐ γὰρ εἰς ἀγῶνα καθείκασιν ἀλλ' ἐπὶ δεῖπνον ἥκουσιν. ἀλλ' οὐδ' εὐχερὴς ἡ διάκρισίς ἐστι, τῶν D
μὲν ἡλικίᾳ τῶν δὲ δυνάμει τῶν δὲ χρείᾳ τῶν δ' οἰκειότητι διαφερόντων, ἀλλὰ δεῖ καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικὴν τοὺς Ἀριστοτέλους (p. 116 ss.) Τόπους ἢ τοὺς Θρασυμάχου (fr. 7) ‘Υπερβάλλοντας ἔχειν προχείρους οὐδὲν τῶν χρησίμων διαπραττόμενον ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα, καὶ τὰ μὲν ἄλλα πάθη πειρώμενον ἀνιέναι συνουσίᾳ, τὸν δὲ † τύχηι ἐπισκευάζοντα, . . . ον πολὺ μᾶλλον οἶμαι προσήκει τῆς ψυχῆς ⟨ἢ⟩ τὸν πηλὸν ἀπονιψαμένους τῶν ποδῶν ἐλαφρῶς καὶ ἀφελῶς παρὰ πότον ἀλλήλοις συμφέρεσθαι. νῦν δὲ τὴν μὲν ἐξ ὀργῆς τινος ἢ πραγμάτων ἔχθραν πειρώ- E
μεθα τῶν κεκλημένων ἀφαιρεῖν, τῇ δὲ φιλοτιμίᾳ πάλιν ὑπεκκάομεν καὶ ἀναζωπυροῦμεν, τοὺς μὲν ταπεινοῦντες τοὺς δ' ὀγκοῦντες. καίτοι γ', εἰ μὲν ἀκολουθήσουσι τῇ κατακλίσει προπόσεις τε συνεχέστεραι καὶ παραθέσεις